V. 9 θʹ *Περὶ νοῦ καὶ τῶν ἰδεῶν καὶ τοῦ ὄντος·*
*οὗ ἡ ἀρχή· πάντες ἄνθρωποι ἐξ ἀρχῆς γενόμενοι.*

**26.** *Καὶ τὴν τετάρτην οὖν καὶ πέμπτην ἐννεάδα εἰς ἓν σωμάτιον κατελέξαμεν. λοιπὴν δὲ τὴν ἕκτην ἐννεάδα εἰς ἄλλο σωμάτιον, ὡς διὰ τριῶν σωματίων γεγράφθαι τὰ Πλωτίνου πάντα, ὧν τὸ μὲν πρῶτον σωμάτιον ἔχει τρεῖς ἐννεάδας, τὸ δὲ δεύτερον δύο, τὸ δὲ τρίτον μίαν. ἔστι δὲ τὰ τοῦ τρίτου σωματίου, ἐννεάδος δὲ ἕκτης, ταῦτα·*

VI. 1 αʹ *Περὶ τῶν γενῶν τοῦ ὄντος πρῶτον·*
*οὗ ἡ ἀρχή· περὶ τῶν ὄντων πόσα καὶ τίνα.*

VI. 2 βʹ *Περὶ τῶν γενῶν τοῦ ὄντος δεύτερον·*
*οὗ ἡ ἀρχή· ἐπειδὴ περὶ τῶν λεγομένων δέκα γενῶν ἐπέσκεπται.*

VI. 3 γʹ *Περὶ τῶν γενῶν τοῦ ὄντος τρίτον·*
*οὗ ἡ ἀρχή· περὶ μὲν τῆς οὐσίας ὅπῃ δοκεῖ.*

VI. 4 δʹ *Περὶ τοῦ τὸ ὂν ἓν καὶ ταὐτὸ ὂν ἅμα πανταχοῦ εἶναι ὅλον πρῶτον·*
*οὗ ἡ ἀρχή· ἆρά γε ἡ ψυχὴ πανταχοῦ τῷ παντὶ πάρεστι.*

VI. 5 εʹ *Περὶ τοῦ τὸ ὂν ἓν καὶ ταὐτὸ ὂν ἅμα πανταχοῦ εἶναι ὅλον δεύτερον·*
*οὗ ἡ ἀρχή· τὸ ἓν καὶ ταὐτὸν ἀριθμῷ πανταχοῦ ἅμα ὅλον εἶναι.*

VI. 6 ϛʹ *Περὶ ἀριθμῶν·*
*οὗ ἡ ἀρχή· ἆρά ἐστι τὸ πλῆθος ἀπόστασις τοῦ ἑνός.*

VI. 7 ζʹ *Πῶς τὸ πλῆθος τῶν ἰδεῶν ὑπέστη καὶ περὶ τἀγαθοῦ·*
*οὗ ἡ ἀρχή· εἰς γένεσιν πέμπων ὁ θεός.*

VI. 8 ηʹ *Περὶ τοῦ ἑκουσίου καὶ θελήματος τοῦ ἑνός·*
*οὗ ἡ ἀρχή· ἆρά ἐστιν ἐπὶ θεῶν εἴ τι ἔστιν ἐπ' αὐτοῖς ζητεῖν.*

VI. 9 θʹ *Περὶ τἀγαθοῦ ἢ τοῦ ἑνός·*
*οὗ ἡ ἀρχή· ἅπαντα τὰ ὄντα τῷ ἑνί ἐστιν ὄντα.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416137067/45 UNIVERSITÄT LEIPZIG